ἑαυτοῦ· τοῖς μὲν παραπλησίαι διὰ φθόνον τυφλώττουσι· πλὴν μὲν ταῖς τυπικαῖς θεολογίαις τοῦ Ἐμμανουὴλ ἐνεορτάζων ἐπὶ φυομένων, ἄλλους παθοῦσα καὶ ἄπορον τοὺς ζῶντας θεοῦ λόγου φανταζέσθω, κατὰ τοὺς μεθύοντας καὶ ὡς δύο τὰς ἓν παραβλέποντας· ἀλλὰ γὰρ καὶ ὡς ἀμνὸς θυόμενος καὶ ὑπὲρ ἁμαρτιῶν ἐκπεμπόμενος, συνῃνίττετο ὑπὸ τοῦ τοῖς χιμάροις καὶ δυσὶν ὀρνιθίοις, ἀλλ' οὐκ ὡς δύο υἱοὺς διαιρεῖται ἡ θεάνθρωπος μία ὑπόστασις· ἀλλὰ καὶ ἐκ δυοῖν οὖσα κατὰ φύσεων διὰ ταῦτα, θύεται μὲν κατὰ σάρκα, ἀπαθὴς δὲ μένει κατὰ τὴν θεότητα· καὶ θανατοῦται μὲν σαρκί, ζωοποιεῖται δὲ πνεύματι· ὁ αὐτὸς ὡς υἱὸς ὁ θεάνθρωπος, ὅπερ καὶ τοῖς τύποις ὑπεσημαίνετο· ἀλλὰ γὰρ καὶ τῶν δύο ὀρνιθίων τὸ μὲν ἐσφάττετο· τὸ δὲ ζῶν ἀπεστέλλετο, ἀλλ' ὡς τὸ αἷμα τοῦ ἐσφαγμένου, τὸ ζῶν ὀρνίθιον ἐβαπτίζετο· λήψονται γάρ φησιν ἐν τῷ Λευιτικῷ, δύο ὀρνίθια ζῶντα καθαρὰ καὶ ξύλον κέδρινον· καὶ κεκλωσμένον κόκκινον καὶ ὕσσωπον· καὶ προστάξει ὁ ἱερεὺς καὶ σφάξουσι τὸ ὀρνίθιον τὸ ἕν· καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτό· καὶ τὸ ξύλον τὸ κέδρινον· καὶ τὸ κλωστὸν κόκκινον· καὶ τὴν ὕσσωπον καὶ βάψει αὐτά· καὶ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος· καὶ ἀποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον. ζῶν γὰρ ὢν ὁ λόγος, τῆς ἰδίας σαρκὸς οἰκειοῦται τὸν θάνατον, ἡ καθ' ὑπόστασιν ἑνώσει· ὡς καὶ τὸ κεκλωσμένον κόκκινον, τὴν πρὸς τὴν σάρκα συμπλοκὴν τοῦτο δηλοῖ· ταῦτ' ἄρα καὶ ἐκ τοῦ νύγματος τῆς πλευρᾶς, οὐ μόνον αἷμα ὡς ἀνθρώπου, ἀλλὰ καὶ ὕδωρ ὡς ὑπὲρ ἄνθρωπον ἐρρύη· οὐ κοινὸν ἡγητέον τὸ αἷμα τῆς διαθήκης ἐν ᾧ λαβόμενοι θεούμεθα, καὶ οὐ τὴν ὁμολογίαν παραχαλοῦμεν οἱ τῆς ἐκκλησίας υἱοί· καὶ διὰ

http://digital.slub-dresden.de/ppn345490649/37